12. *ποίησαι*] Iunt. Call. *ποιῆσαι* (superscr. *ον*) c. *ποίησον* k. — *καλίαν*] *καλιὰν* vulg. — *δενδρίῳ*] k. c. Iunt. *δενδρίω* Call.

13. *ὅπα*] Hermann. *ὅπη* k. *ὅππη* c. Iunt. Call. *ὅππῃ* Comm. *ὅποι*

νῦν δὲ τῶδε μὲν ἄματος ἄλλον ἔχῃς κλάδον,
ἄλλον δ' αὔριον, ἐξ ἑτέρω δ' ἕτερον μάτῃς.
καί μέν σευ τὸ κάλον τις ἴδων ῥέθος αἰνέσαι,
τῷ δ' εὔθυς πλέον ἢ τριέτης ἐγένευ φίλος,
τὸν πρᾶτον δὲ φιλεῦντα τρίταιον ἐθήκαο.
ἄνδρων τῶν ὑπερανορέων δοκέῃς πνέῃν.
φίλη δ', ἆς κε ζόῃς, τὸν ὔμοιον ἔχῃν ἄει.
αἰ γὰρ ὧδε πόῃς, ἄγαθος μὲν ἀκούσεαι
ἐξ ἄστων· ὁ δέ τοί κ' Ἔρος οὐ χαλέπως ἔχοι,
ὃς ἄνδρων φρένας εὐμαρέως ὑποδάμναται,
κἤμε μάλθακον ἐξ ἐπόησε σιδαρίω.
ἀλλ' ὑπὲρρ ἀπάλω στύματός σε πεδέρχομαι

Meinek. — *ἀφίξεται* k. — *ὄρπετον*] c. sub ορ scripto ε. *ὅρπετον* Iunt. *ἕρπετον* k. *ἑρπετόν* Call.

14. *ἅματος* c. — *ἔχῃς*] c. *ἔχεις* vulg.

15. *αὔριον* c. — *μάτῃς*] Hermann. *μάτη* k. *ματῆς* Iunt. Call. *μάθῃς* c. *μάλα* Ahrens.

16. *καί μέν σευ*] Ahrens. *καί μὲν σεῦ* coni. Brunck. *καὶ μὴν σεῦ* Call. *καὶ κέν σευ* k. *καίκεν σευ* Iunt. *καί κέν σα* (ευ superscr.) c. — *κάλον — ἴδων*] *καλόν — ἰδὼν* vulg. *τὶς* k.

17. *τῷ δ'*] c. *τῷδ'* Valck. *τῶδ'* k. Iunt. Call. *τῶ δ'* Bas. I. — *εὔθυς*] *εὐθὺς* vulg.

18. *πρῶτον* c. — *τρίταιον*] c. Iunt. *τριταῖον* Call. *τρίτατον* k. — *ἐθήκαο*] Camer. *ἔθηκας* k. c. Iunt. Call.

19. *ἄνδρων*] *ἀνδρῶν* vulg. — *ὑπερανορέων*] k. c. *ὑπερηνορέων* Iunt. Call. — *δοκέῃς πνέῃν*] *δοκέεις πνέειν* vulg. *δοκέοις* (secundum o e corr.) c. *πνείειν* k.

20. *φίλη*] c. *φίλει* k. Iunt. Call. — *ἆς κε*] Iunt. *αἶσκε* c. *ὥσκε* k. Call. — *ζόῃς*] *ζόης* Iunt. et in marg. c. *ζώῃς* k. Call. *τρόῃς* (? dubito de τρ) c. *ἆς κε νόῃς* coni. Ahrens. *ἆς κεν ἔῃς* Hermann. — *ὁρῇς* Meinek. — *ὔμοιον*] Iunt. Call. *ὕμιον* k. *ὕμμϊον* in marg., *ὅμοϊον* in textu c. — *ἔχῃν ἄει*] prius cum Brunck. *ἔχειν ἀεί* vulg. *ἔχειν* (η superscr.) c.

21. *αἴ* c. Iunt. Call. et ante Comm. — *πόῃς*] *πόεις* (η superscr.) c. *ποῇς* k. Call. *ποῇς* Comm. *ποιῇς* Iunt. Coniunctivos hic et vs. 33. 35. 36. etiam Bergk. restitutos voluit. — *ἄγαθος*] *ἀγαθὸς* vulg.

22. *ἄστων*] *ἀστῶν* vulg. — *τοί κ' Ἔρος*] Brunck. *τοι κ' ἔρος* k. c. *τοι ἔρος* Call. *τοι χρόνος* Iunt. — *χαλέπως*] *χαλεπῶς* vulg. — *ἔχει* c.

23. *ἄνδρων*] *ἀνδρῶν* vulg. — *ὑποδάμνεται* c.

24. *κἤμε*] k. c. *κἠμὲ* vulg. — *μάλθακον*] c. *μαλθακὸν* vulg. — *ἐξ ἐπόησε*] Ahrens. *ἐξεποησε* inducto super οι c. *ἐξεποίησε* k. *ἐξεπόνασε* Iunt. Call. — *σιδαρίω*] Ahrens. *σιδαρίου* c. *σιδαρέου* Iunt. Call. *σιδαρέω* Valck. *σιδάριον* k. — Schol. k.: *ἐμὲ ἀπὸ ἰσχυροῦ μαλθακὸν ἐποίησεν.*

25. *ἀλλ' ὑπὲρρ*] coni. Meinek. *ἀλλὰ περὶ* k. *πέριξ* Iunt. Call. *πὲρ* Ahrens. *ἀλλὰ γὰρ πέρι* c. — *ἀπάλω*] Ahrens. *ἁπάλω* k. *ἀπαλῶ* Comm. *ἁπαλῶ* vulg. *ἁπαλλῶ* c. — *στύματός*] k. Iunt. Call. *στόματός* c. Camer. — *σ' ἐπιδέχομαι* Mor. — Reliquam carminis partem, quam primus edidit Casaub. ad Diog. Laert. II. 69., Brunckius lacunae signo a praecedentibus separavit; priores editores reiecerant ad calcem epigrammatum. Nihil excidisse, sed omnia uno tenore scribenda esse intellexit Huschk. ad Tibull. I, p. 141., quem

ὀμνάσθην, ὅτι πέρρυσιν ἦσθα νεώτερος,
χὤτι γηραλέοι πέλομες πρὶν ἀποπτύσαι
καὶ ῥύσοι, νεότατα δ᾽ ἔχην παλινάγρετον
οὐκ ἔστι· πτέρυγας γὰρ ἐπωμαδίαις φόρη,
κἄμμες βαρδύτεροι τὰ ποτήμενα συλλάβην.
ταῦτα χρὴ νοέοντα πέλην ποτιμώτερον,
καί μοι τὠραμένῳ συνεράν ἀδόλως σέθεν,
ὅπως, ἀνίκα τὰν γένυν ἀνδρεΐαν ἔχῃς,
ἀλλάλοισι πελώμεθ᾽ Ἀχιλλέιοι φίλοι.
αἰ δὲ ταῦτα φέρην ἀνέμοισιν ἐπιτρόπῃς,
ἐν θύμῳ δὲ λέγῃς „τί με δαιμόνι᾽ ἐννόχλης",
νῦν μὲν κἠπὶ τὰ χρύσεα μᾶλ᾽ ἕνεκεν σέθεν
βαίην καὶ φύλακον νεκύων πέδα Κέρβερον,
τόκα δ᾽ οὐδὲ καλεῦντος ἐπ᾽ αὐλεΐαις θύραις
προμόλοιμί κε παυσάμενος χαλέπω πόθω.

sequutus est Meinek. Confirmarunt sententiam Huschkii k. c.

26. ὀμνάσθην] ὃ μνάσθην k. ἐμνάσθην c. — ἀλλὰ πέριξ μ᾽ ante ὀμν— Casauboni cod. — πέρρυσιν] k. πέρυσιν vulg.

27. πέλοιμες k.

28. ῥύσοι] c. ῥυσοί Meinek. ῥυσσοί vulg. — νεώτατα k. c. — ἔχην] Brunck. ἔχειν vulg. ἔχ+—νειν c.

29. ἐπωμαδίαις] Meinek. ἐπωμαδίας vulg. ἐπ᾽ ὀμμασίαις c. — φόρη] φόρη (ε super ό) c. φόρει k. Ahrens. φορεῖ vulg.

30. βαρδύτεροι] Comm. βραδύτεροι k. c. — ταποτέμενα c. — συλλάβην] συλλάβῆν (῎ = ειν) c. συλλαβῆν Brunck. συλλαβεῖν vulg.

31. πέλην] Brunck. πέλειν vulg. — ποτιμότερον k. προτιμότερον c.

32. τῶ ῥαμένω k. τῶ ἰαμένω c. — συνορᾶν k. o super ε c.

33. ὅπως] k. c. ὅππως Brunck. — ἀνδρεΐαν] k. ἀνδρείαν c. — ἔχῃς] ἔχῃς c. ἔχεις k.

34. ἀλλήλοισι k. c. — πελόμεθ᾽ c. — Ἀχιλλέιοι] Schaefer. Ἀχιλλήιοι vulg. ἀχιλήϊοι k. c.

35. γε post ταῦτα k. c. Delevit Brunck. — φέρην] Brunck. φέρειν vulg. — ἐπιτρόπῃς] ἐπιτρόποις k. ἐπὶ τρόπις (οι super ι) c. ἐπιτρόπεις Ahrens. ἐπιτρέπεις vulg.

36. θύμῳ] θυμῷ vulg. — τε Brunck. e coni. — λέγῃς] λέγης c. λέγεις vulg. — ἐννόχλης] ἐνόχλης c. ἐνοχλεῖς vulg. ἐννοχλεῖς Hermann. δαιμόνιε ˮνοχλεῖς k. — Vs. 35. 36. posuit Meinek. post 38.

37. νῦν μὲν] c. Brunk. νῦν μὲν δὴ ut ante Brunck. k. — κἠπὶ τὰ] Comm. κἤπειτα k. c. — μάλ᾽ εἵνεκεν c.

38. παῖδα k. c.

39. τότα coni. Bergk. — οὐ pro οὐδὲ c. — αὐλεΐαις] Schaefer. αὐλείαις k. c.

40. προμήλοιμι c. — χαλέπω] χαλεπῶ vulg. χαλεπῷ c. — πόθω habet c. in marg., in textu videtur μˮθίωῳ scriptum esse.

ΠΑΙΔΙΚΑ ΑΙΟΛΙΚΑ.

ΕΙΔΥΛΛΙΟΝ Λʹ.

Καὶ τῶ χαλεπῶ καινομόρω τῶδε νοσήματος
τετορταῖος ἔχει παῖδα ἔρως μῆνα δεύτερον
κάλω μὲν μετρίως ἀλλ' ὁπόσον τῶ παιδὶ περιέχει
καὶ νῦν μὲν τὸ κακὸν ταῖς μὲν ἔχει ταῖς δ' οὔ.
τᾶς γᾶς τοῦτο χάρις· ταῖς δὲ παραύλαις γλυκὺ μειδίαμα
τάχα δ' οὐδ' ὅσον ὕπνω πίτυχην ἔσσετ' ἐρωΐα
ἐχθὲς γὰρ παριὼν ἔδρακε λεπτὰ μελιφρύγων
αἰδεσθεὶς ποτίδην ἀντίος ἠρεύθετο δὲ χρόα
ἔμεθεν δὲ πλέον τᾶς καρδίας σωρὸς ἐδράξατο
εἰς οἶκον δ' ἀπέβαν ἕλκος ἔχων καὶ τὸ
πολλὰ δ' εἰς καλέσασ θυμὸν ἐμαυτοῦ διέλυξε
τί δὴ ταῦτ' ἐπόης ἀλοσύνας τί ἔσχατον ἔσεται

Liber: c.
Παιδικὰ Αἰολικά] c.
Exhibui carmen, quale ex ipso codice descripsi, allatis coniecturis et emendationibus virorum doctorum, qui in eo restituendo adhuc sunt versati, Bergkii (B. Index scholarum — Halae, 1865), Theodori Fritzschii (ThF. De Theocriti Carmine Aeolico recens invento. Rostochii, 1865), Hermanni Fritzschii (HF. Musei Rhenani vol. XXI, p. 248. sqq.), Schwabii (S. Indices Scholarum — Dorpati Livonorum, 1866.) — THF. carmen in strophas versuum binorum, HF. in strophas versuum ternorum distribuit.
1. *Ὤιαι*] B. HF. S. *Αἰαῖ* ThF.
2. *τετορταῖον* HF. — *παῖδος* B. Fritzschii. S. — *ἔρος* HF. S. — *με* ante *δ*. B. ThF. S. *τε* HF., qui in notis coni. *τετορταῖος ἔχει παῖδος ἔρος μαινάδι μ' εἴκελον.*
3—5. *μετέρως* coni. B. — *ὁπόσον τῷ παΐδὶ πρέπει. Καὶ νῦν μὲν τὸ κακὸν ταῖς μὲν ἔχει, ταῖσι δέ μ' οὐκέτι. Τᾶς γᾶς τοῦτο χάρις· ταῖς δὲ παραύαις γλυκὺ μειδίαι.* B. *ὁπόσον παῖδα πέριξ ἔχει Τᾶς γᾶς, τοῦτο χάρις· ταῖς δὲ παραύαις γλυκὺ μειδίαι. Καὶ νῦν μὲν τὸ κακὸν ταῖς μὲν ἔχει, ταῖσι δέ μ' οὐκ ἔχει·* ThF. (*ταῖσι δέ μ' οὐκ ἔχει — ταῖς δ' οὔϊ μ' ἀμέραις* B. in notis.) *ὁπόσων τῷ παΐδὶ πρέπει Ἰσπνίλοις παρέχειν, οὐδὲ τόσον λισσομένῳ φέρει. Καὶ νῦν μὲν τὸ κάκον ταίς μευ ἔχει τλησιπόνοις φρένας. Ἄπαν τοῦτο χάρισμ', αἴ τι παραύαις γλυκὺ μειδίαι.* HF. *ὁπόσον τῷ παΐδὶ πρέπει. Καὶ νῦν μὲν τὸ κακὸν ταῖς μὲν ἔχει, ταῖς δ' ἔχει οὐκέτι (Ἄβας τοῦτο χάρις ταῖςδε παραύαις γλυκὺ μειδίαν)·* S. — *αὐγᾶς τοῦτο χάρις* coni. Kreussler.
6. *πιτύχην* B. Fritzschii. S.
7. *λόξ' ἄμμε δι' ὀφρύων* B. *παῖς λεπτὰ δι' ὀφρύων* ThF. *κλέπτ' ἄμμε δι' ὀφρύων* HF. e coni. Kreussleri. *λέπτ' ἄμμε δι' ὀφρύγων* S.
9. *ὦρος* B. Fritzschii. S.
10. *καὶ τεθολωμένος* B. *καὶ τὸ δέμας τακεὶς* ThF. *καὶ τὸ κέαρ δακὼν* HF. (*κέαρ* e coni. Curtii.)
11. *πόλλα* HF. Sic etiam 22. 24. *θῦμον* 11. 24. *παῖδος* 17. *θόας* 18. *μύελον* 21. *ἔμον* 24. *μάκρον* 28. *ζύγον* 29. — *ἐγκαλέσαις* HF. *ἐγκαλέσας* S. — *θυμῷ* S. — *ἐμαυτῷ* B. *ἐμαυτῶ* ThF. HF. S. — *διελεξάμαν* B. Fritzschii. S.
12. *τοῦτ' ἐπόησ'; ἀλοσύνας τί ἔσχατον ἔσσεται;* B. *ταῦτ' ἐπόης;*

λεύκας οὐκ ἐπΐσθης θ' ὅτι φόροις ἐν κροτάφοις τρία
ὧρα τοι φρονέσιν μὴ . . . ινέος τὰν ἰδέαν πέλη
πάντ' ἔρδ' ὅσσα περ οἱ τῶν ἐτέων ἄρτια γεγευμένοι
καὶ μὰν ἄλλος ἐλάθειτο δ' ἄρης λώϊ+ον ἔμμεναι
ξεῖνον τῶν χαλεπῶν παιδὸς ἔραν
τῶ μὲν γὰρ βίος ἕρπε ρωὶσαγόνοις ἐλάφω θοαῖς
δλάσει δ' ἑτέρα ποντοπόρην αὔριον ἀμέραν
οὐδ' ἀὐ τ' γλυκερᾶς ἀνθεμονάβασ πεδιμαλικὼ
μένει τῶδ' ὁ πόθος καὶ τὸν ἔσω μιελὸν ἐσθίει
ὄμμι μνασκομένω πολλὰ δ' ὄρη νυκτὸς ἐνύπνια
παύσασθαι δ' ἐνιαυτὸς οὐ χαλεπαὶ οὐχί
ταῦτα χ' ἄτερα πολλὰ ποτ' ἐμὸν θυμὸν ἐμεμψάμαν
ὁ δὲ τοῦτ' ἔφτ' ὅτις δοκεῖ μοι τὸν δολομάχαναν
νικάσειν ἔρον. οὗτος δοκεῖ μοι τᾶς ὑπὲρ ἄμμ'
εὑρεῖν βραδίως ἀστέρας ὁπποσάκινυ+ ινν ἐννέα
καὶ νῦν εἴτε θέλω, χρή με μακρὸν ἔχοντα τὸν ἄμφενα

ἀλλοσύνας τί ͗͗σχατον ἔσσεται; HF. S. (*ἐπόης* Kreussler. *ἀλλοσύνας τί ͗͗σχατον* B. in notis.) *τί δῆτ' αὐτοποᾶς ἀλοσύνας τὤσχατον ἔσσεται*; ThF.

13. *οὐκ' οἴδησθ'* B. *οὐ συνέτησθ'* ThF. (cfr. B. in notis.) *οὐ συνίησθ'* HF. e coni. Kreussleri. *οὐκέτ' ἴσησθ'*, in quod ego quoque incideram, S. *οὐκ ἐπίδησθ'* Curt. — *ὅττι φόρεις* B. Fritzschii. S. (*φόρης* B. in notis.) — *τρίας* B. *τρίχας* ThF. HF. S.

14. *φρονέειν* B. Fritzschii. S. — *μὴ οὔ τι νέος* B. S. *μὴ αὖτε νέος* ThF. *μὴ τύ τι νέος* (signo exclamationis post *φρονέειν* posito) HF.

15. *ἄρτι γεγευμένοι* B. ThF. *ἄρτια γεύμενοι* auctore Kreusslero HF. S.

16. *ἐλάσθη* B. Fritzschii. S. *ἔληγεν* coni. S. — *τὸ δ' ἄρ' ἧς* B. Fritzschii. S.

17. *παιδὸς ἔραντι προγενεστέρῳ* B. *παῖδος ἔρῳ μὴ πεποναμένον* ThF. *παῖδος ἐρώτων καὶ ἐλεύθερον* HF.

18. *ἕρπει προγόνοις ἶσ' ἐλάφω θοᾶς* B. HF. S. *εἷρπ' ἶσα γονοῖς τοῖς ἐλάφω θοᾶς* ThF.

19. *τλάσεται* B. ThF. *ἀλλάσσει* e coni. Kreussleri HF. S. — *δ' ἑτέρυι* B. *δ' ἑτέρα* ThF. S. *δ' ἑτέρῳ* HF. — *αὔριον* B. Fritzschii. S.

20. *οὐδ' αὐτῷ* B. ThF. S. *νῦν δ' αὐτῷ* HF. — *ἄνθεμον ἅβας* B. Fritzschii. S. — *πεδ' ὑμαλίκων* B. Fritzschii. S.

21. *τῷ δ'* B. ThF. S. *τοί δ'* HF. — *κατ τὸν* B. ThF. *κὰτ τὸν* HF. S. — *μυελὸν* B. ThF. S. *μύελον* HF.

22. *ὀμμιμνασκομένῳ* B. Fritzschii. S.

23. *οὐ* in cod. inductum est. — *χαλεπᾶς οὐκὶ δύας ἅλις* B. Fritzschii. *χαλεπᾶς οὐκ ἵκανος νόσω* B. prius.

24. *προτ'* B. Fritzschii. S.

25. *ἔφατ· ὅττις δοκίμοι* B. Fritzschii. S. — *α* infra *ο* in cod. deletum est.

26. *δοκίμοι τοὶς ὑπὲρ ἄμμεων* B. Fritzschii. S.

27. *μετρεῖν* B. S. — *βραϊδίως* B. Fritzschii. S. *ν* infra + in cod. inductum. *ὁπποσσάκι μεὶς νέα* B. *ὁπποσσάκιν εἴνατοι* ThF. *ὁπποσάκις ἐννέα* HF. *ὁπποσσάκιν εὐνέα* S.

28. *εἴτ' ἐθέλω* B. Fritzschii. S. — *σχόντα* B. Fritzschii. S. — *κατ' ἄμφενα* HF. — De *ἄμφενα* et *ἐννέα* ambigo. Formae litterarum eae sunt, ut etiam *ἄμφενα* et *εὐνέα* legi possit.

ἕλκειν τὸν ζυγόν. εἴτ' οὐκ ἐθέλω ταῦτα γὰρ ὤγαθέος
βούλεται θέοσσ καὶ διὸς ἔσφαλε μέγαν γόον
κἄντας κυπρογενῆας ἔμε μὰν φίλον ἐπάμερ[ον]
σμίκρας δενόμενον αὔρας ὁ μέλλων αἴκα φορεῖ.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

Α'.

Τὰ ῥόδα τὰ δροσόεντα καὶ ἁ κατάπυκνος ἐκεῖνα
ἕρπυλλος κεῖται ταῖς Ἑλικωνιάσι,
ταὶ δὲ μελάμφυλλοι δάφναι τίν, Πύθιε Παιάν,
Δελφὶς ἐπεὶ πέτρα τοῦτό τοι ἀγλάισε.
βωμὸν δ' αἱμαξεῖ κεραὸς τράγος οὗτος ὁ μαλός,
τερμίνθου τρώγων ἔσχατον ἀκρεμόνα.

Β'.

Δάφνις ὁ λευκόχρως, ὁ καλᾷ σύριγγι μελίσδων
βουκολικοὺς ὕμνους, ἄνθετο Πανὶ τάδε,
τοὺς τρητοὺς δόνακας, τὸ λαγωβόλον, ὀξὺν ἄκοντα,
νεβρίδα, τὰν πήραν, ᾇ ποκ' ἐμαλοφόρει.

29. *ὤγαθος* B. *ὦγαθέ* Fritzschii. S.
30. *θέος, ὃς* B. Fritzschii. S.
31. *Κυπρογενήας* B. Fritzschii. S. — *φύλλον* Fritzschii. S.
32. *ἀνέμων οὐ δίκαον φορεῖν;* B. *τὸν ἔρον κῶς ἄϊκες φορεῖν;* ThF. *τὸν ἔρον πῶς ἄϊκες φορεῖν;* HF. *τὸ μέλημ' αἴκε φορέω, ψέγεις;* coni. S.

Libri: k. c.

Θεοκρίτου Συρακοσίου Ἐπιγράμματα] Iunt. *Θ. Συρακουσίου Ἐ.* c. Call. *ἐπιγράμματα* k. — Singula epigrammata in k. c. nullas inscriptiones habent. In Iunt. Call. primum epigramma titulo caret; sequentia quinque in Iunt., duodecim in Call. *ἄλλο* praefixum habent. — Servavi ordinem, qui est in k. c.

I. 1. *τὰ* post *ῥόδα* om. c. — *ἁ*] Brunck. *ἡ* vulg. *ὁ* c. — *κατάκαρπος* Iunt.

2. *ἕρπυλλος*] Call. *ἕρπιλλος* Iunt. *ἕρπυλος* k. c. — *ἑλικωνιάσιν* c.

4. *δέλφις* k. Call. — *ἐπὶ* k. c. — *τοῦτό τοι*] Iunt. Call. *τοῦτό οἱ* k. *τοῦ τοι* c. — *ἀγλάϊσε*] k. c. Mor. vulg. *ἀγλάϊσεν* Call. *ἠγλάϊσεν* Iunt.

5. *αἱμαξεῖ*] Brunck. *αἱμάξει* vulg. — *ὁ μαλλός* Brunck. *ὁ μᾶλος* Ahrens. *ὁ μάχλος* Meinek. e coni. Reisk. *ὁ μανὸς* k. *ὁμαλός* Iunt. Call.

6. *ἀκρεμόνα*] Meinek. *ἀκρέμονα* vulg.

II. 2. *βωκολικοὺς* Iunt. — *ἀνέθετο* k.

3. *τρητοὺς*] k. c. *τρισσοὺς* Iunt. Call. — *ὀξὺν* om. k.

4. *τὰν*] Valck. *τὴν* vulg. — *ἅ ποκ'* k. c. — *ἐμαλλοφόρει* k. *ἐμαφόρει* c.

Γ'.

Εὕδεις φυλλοστρῶτι πέδῳ, Δάφνι, σῶμα κεκμακός
ἀμπαύων· στάλικες δ' ἀρτιπαγεῖς ἀν' ὄρη.
ἀγρεύει δέ τυ Πὰν καὶ ὁ τὸν κροκόεντα Πρίηπος
κισσὸν ἐφ' ἱμερτῷ κρατὶ καθαπτόμενος,
ἄντρον ἔσω στείχοντες ὁμόρροθοι. ἀλλὰ τὺ φεῦγε,
φεῦγε μεθεὶς ὕπνου κῶμα καταγρόμενον.

Δ'.

Τήναν τὰν λαύραν, τῶς αἵ δρύες, αἰπόλε, κάμψας
σύκινον εὑρήσεις ἀρτιγλυφὲς ξόανον,
τρισκελὲς αὐτόφλοιον ἀνούατον, ἀλλὰ φάλητι
παιδογόνῳ δυνατὸν Κύπριδος ἔργα τελεῖν.
σακὸς δ' εὐίερος περιδέδρομεν, ἀέναον δέ
ῥεῖθρον ἀπὸ σπιλάδων πάντοσε τηλεθάει
δάφναις καὶ μύρτοισι καὶ εὐώδει κυπαρίσσῳ.
ἔνθα πέριξ κέχυται βοτρυόπαις ἕλικι
ἄμπελος, εἰαρινοὶ δὲ λιγυφθόγγοισιν ἀοιδαῖς
κόσσυφοι ἀχεῦσιν ποικιλότραυλα μέλη.
ξουθαὶ δ' ἀδονίδες μινυρίσμασιν ἀνταχεῦσι
μέλπουσαι στόμασιν τὰν μελίγαρυν ὄπα.
ἕζεο δὴ τηνεῖ καὶ τῷ χαρίεντι Πριήπῳ
εὔχε' ἀποστέρξαι τοὺς Δάφνιδός με πόθους,
κεὐθὺς ἐπιρρέξειν χίμαρον καλόν. ἢν δ' ἀνανεύσῃ,
τοῦδε τυχὼν ἐθέλω τρισσὰ θύη τελέσαι·

III. 1. *φυλλοστρῶτω* k. — *κεκμακός*] Call. *κεκμηκὸς* Iunt. *κεκμακὼς* k. c.
5. *ἄντρου* Ahrens.
6. *καταγρόμενον*] *καταγρώμενον* k. *κατεγρόμενος* Bentlei. *καταρχόμενον*, quod verum videtur Meinekio, Toup. *καταρχομένου* Iacobs. *κατανόμενον* Hermann. et Hecker. *καταντόμενον* Boissonad. *κατειβόμενον* Schneidewin. et Wordsworth. *καὶ ἀγρεμόνας* Ahrens. *καταδόμενον* Schneider.

IV. 1. *τῆναν* c. *τὴν αὐτὰν* Call. — *τῶς αἵ* Iunt. Call. *τὰς αἵ* k. *τόθι ταὶ* Meinek. In notis praefert *ὅθι ταί.* Praeterea coni. *τάς τε δρύας* vel *ὡς ταὶ δρύες.*
4. *παιδογόνω* k. Call.
5. *σακὸς*] Call. *σακος* k. *κᾶπος* c. Iunt. et v. l. in Call. *ἕρκος* Meinek. — *δ' εὐίερος*] Toup. *δ' εὖ ἱερὸς* vulg. *δ' εὐ ἱερὸς* c. *ο εὖ (?) ἱερὸς* k. *δὲ σκιερὸς* Iunt. *δέ σφ' ἱερὸς* Wordsworth. *δέ σφ' ἱερὸν* Meinek. — *ἀένναον* k. c. *ἀενάον* Meinek. ad Bion. 15, 1.
7. *κυπαρίττῳ* k. c.
10. *ἀχεῦσι* k. c. Iunt.
11. *δ' ἀδονίδες*] Meinek. *ἀηδονίδες* vulg. — *ἀνταχεῦσι*] Brunck. praeeunte Scaliger., qui *ἀνταχεῦσιν*. *ἀντιαχεῦσι* vulg. *ἀντιαχεῦσιν* c. *ἀνταχεῦσαι μέλπουσι* Meinek.
12. *στόμασι* k. c. Iunt. Call. — *μελίγαρυν*] k. c. *μελίγηρυν* vulg.
13. *τηνεῖ*] Meinek. *τῆνει* c. *τηνεὶ* vulg. — *πριάπῳ* k. c.
14. *εὔχεο* c. Call. *εὔχες* Iunt. *εὔχου* Meinek.
16. *τοῦ δὲ* Call. — *τρισσα θύη* c. *τρισσοθύην* Call.

ῥέξω γὰρ δαμάλαν, λάσιον τράγον, ἄρνα τὸν ἴσχω
σακίταν. αἴοι δ' εὐμενέως ὁ θεός.

Ε'.

Λῇς ποτὶ τᾶν Μοισᾶν διδύμοις αὐλοῖσιν ἀεῖσαι
ἁδύ τί μοι; κἠγὼ πακτίδ' ἀειράμενος
ἀρξεῦμαί τι κρέκειν, ὁ δὲ βουκόλος ἄμμιγα θελξεῖ
Δάφνις, κηροδέτῳ πνεύματι μελπόμενος.
ἐγγὺς δὲ στάντες λασίας δρυὸς ἄντρου ὄπισθεν
Πᾶνα τὸν αἰγιβάταν ὀρφανίσωμες ὕπνου.

ς'.

Ἆ δειλαῖε τὺ Θύρσι, τί τὸ πλέον, εἰ καταταξεῖς
δάκρυσι διγλήνους ὦπας ὀδυρόμενος;
οἴχεται ἁ χίμαρος, τὸ καλὸν τέκος, οἴχετ' ἐς Ἅιδαν·
τραχὺς γὰρ χαλαῖς ἀμφεπίαξε λύκος.
αἱ δὲ κύνες κλαγγεῦντι· τί τὸ πλέον, ἁνίκα τήνας
ὀστίον οὐδὲ τέφρα λείπεται οἰχομένας;

Ζ' (ΙΔ').

Νήπιον υἱὸν ἔλειπες, ἐν ἁλικίᾳ δὲ καὶ αὐτός,
Εὐρύμεδον, τύμβου τοῦδε θανὼν ἔτυχες.
σοὶ μὲν ἕδρα θείοισι μετ' ἀνδράσι· τὸν δὲ πολῖται
τιμασεῦντι, πατρὸς μνώμενοι ὡς ἀγαθοῦ.

Η' (Ζ').

Ἦλθε καὶ ἐς Μίλητον ὁ τοῦ Παιήονος υἱός,
ἰητῆρι νόσων ἀνδρὶ συνοισόμενος
Νικίᾳ, ὅς μιν ἐπ' ἦμαρ ἀεὶ θυέεσσιν ἱκνεῖται,
καὶ τόδ' ἀπ' εὐώδους γλύψατ' ἄγαλμα κέδρου,

18. *ἀῦοι* Call.

V. 2. *κἠγὼν* Iunt. Call. *κἀγὼν* c. *κἀγὼ* k.

3. *κρεκεῖν* c. — *βουκόλος*] k. et ante Valck. Is *βω—* ut c. — *ἀμμιγὰ* a pr., *ἄμμιγα* a sec. k. — *θέλξει* k. c.

4. *κηροδέτῳ*] k. c. Call. *κυροδέτω* Iunt. *καροδέτῳ* Reisk.

5. *ὄπισθε* Iunt.

6. *αἰγιβάταν*] k. c. *αἰγιβόταν* Call. *αἰγιβότην* Iunt. — *ὀρφανίσωμες*] k. c. *ὀρφανίσωμεν* Iunt. Call.

VI. 1. *ἆ δείλαιε* Iunt. Call. *δειλέ* spatio ante *δ—* relicto k. — *καταξεῖς* k. c.

3. *ὄχετ'* c. — *ἅδαν* k. Iunt. Call. *ἄδαν* c.

4. *χαλαῖς*] Iunt. Call. *χαλᾶς* k. c.

6. *ὀστίον*] k. *ὅστιον* Ahrens. *ὀστέον* vulg. — *οἰχομένης* k. c.

VII. *Ἐπιτάφιον εὐρυμέδοντος* Iunt.

1. *ἔλϊπες* k. c. — *ἐναλίγκια* k.

4. *μνωόμενος* c.

VIII. *Εἰς ἄγαλμα ἀσκληπιοῦ* Iunt.

2. *συνοισόμενος*] k. c. *συνεσσόμενος* Iunt. Call.

3. *ὅς μιν* om. c. Idem in v. seq. *καὶ δ'*.

Ἠετίωνι χάριν γλαφυρᾶς χερὸς ἄκρον ὑποστάς
μισθόν· ὁ δ' εἰς ἔργον πᾶσαν ἀφῆκε τέχνην.

Θ' (Η').

Ξεῖνε, Συρακόσιός τοι ἀνὴρ τόδ' ἐφίεται Ὄρθων·
χειμερίας μεθύων μηδαμὰ νυκτὸς ἴοις.
καὶ γὰρ ἐγὼ τοιοῦτον ἔχω πότμον· ἀντὶ δὲ πολλᾶς
πατρίδος ὀθνείαν κεῖμαι ἐφεσσάμενος.

Ι'.

Ὑμῖν τοῦτο, θεαί, κεχαρισμένον ἐννέα πάσαις
τὤγαλμα Ξενοκλῆς θῆκε τὸ μαρμάρινον,
μουσικός· οὐχ ἑτέρως τις ἐρεῖ. σοφίῃ δ' ἐπὶ τῇδε
αἶνον ἔχων Μουσέων οὐκ ἐπιλανθάνεται.

ΙΑ'.

Εὐσθένεος τὸ μνῆμα· φυσιγνώμων ὁ σοφιστής,
δεινὸς ἀπ' ὀφθαλμοῦ καὶ τὸ νόημα μαθεῖν.
εὖ μιν ἔθαψαν ἑταῖροι ἐπὶ ξείνης ξένον ὄντα·
χὐμνοθέτης αὐτοῖς δαιμονίως φίλος ἦν.
πάντων ὧν ἐπέοικεν ἔχει τεθνεὼς ὁ σοφιστής.
καίπερ ἄκικυς ἐὼν εἶχ' ἄρα κηδεμόνας.

ΙΒ'.

Δημομέλης ὁ χορηγός, ὁ τὸν τρίποδ', ὦ Διόνυσε,

5. *ἠετίωνι — ἄκρον* c.

6. *ὁ δ'*] vulg. *ὅδ'* k.

IX. *Ἐπιτάφιον ὄρθωνος* Iunt.

1. *Συρακόσιός*] Brunck. *συρακκόσιός* k. *συρακουσίος* c. *Συρηκόσιός* vulg. — *τις* pro *τοι* k. c. — *ἐφίετο ὀρθὼν* k.

2. *χειμερίας*] Brunck. *χειμερίης* vulg. — *ἑοῖς* c. *ἴης* Iunt. — Post hunc v. Meinekio distichon videtur excidisse.

3. *ἀντὶ φίλης δέ* coni. Wordsworth.

4. *ὀθνείαν*] Boissonad. *ὀθνείων* k. *ὀθνείην* vulg. — *ἐρεσσάμενος* c.

X. *Εἰς ἄγαλμα μουσῶν* Iunt.

3. *ἕτερος* (ω supra) c. *ἕτερός* Call. — *τίς* k. Iunt.

4. *μούσάων* k. — Vs. deest in c.

XI. *Ἐπιτάφιον εὐσθένους τοῦ φυσιογνώμονος* Iunt.

1. *εὐσθενέος* k. — *μνῆμα*] k. c. *μνᾶμα* vulg.

3. *ἔθαψαν*] Iunt. Call. *ἔγραψαν* k. c. *οἵ μιν ἔγραψαν ἑταῖρον* Meinek. praeeunte Hermanno, qui post v. 2. statuit lacunam.

4. *χὑμνοθέτης*] *χ' ὑμν—* vulg. *χ' ὡμν—* k. *χ' ωυμν—* c. *χὡὑμν—* Ahrens. *χ' ὑμνοθέτης* Toup. *χὡροθέτης* Meinek. e coni. Hermanni. — *αὐτῆς* k. c. *ἐν τοῖς* e coni. Reiskii Ahrens. — Pro *δαιμονίως ἀλίμων ὡς* k. — *ἧς* Call. *ὧν* Boissonad. Ahrens.

5. *τεθνεὼς*] k. c. *τεθναὼς* vulg. — *πάντων, ὧν ἐπέοικεν ἔχειν, τεθνεὼς* — Meinek. deleta interpunctione post *σοφιστής*. *ἔχειν* coni. Briggs.

6. *ἄοικος* Meinek. e coni. D. Heinsii.

XII. *Εἰς τρίποδα τῷ διονύσῳ ἀπὸ δημοτέλους* Iunt.

1. *Δημομέλης*] Ahrens. *Δαμομέλης* Call. *Δαμοτέλης* Iunt. *Δαμομένης* k. *Δαμογένης* (μ supra) c.

καὶ σὲ τὸν ἥδιστον θεῶν μακάρων ἀναθείς,
μέτριος ἦν ἐν πᾶσι, χορῷ δ' ἐκτήσατο νίκην
ἀνδρῶν, καὶ τὸ καλὸν καὶ τὸ προςῆκον ὁρῶν.

ΙΓ'.

Ἡ Κύπρις οὐ πάνδημος. ἱλάσκεο τὴν θεὸν εἰπών
οὐρανίην, ἁγνῆς ἄνθεμα Χρυσογόνης
οἴκῳ ἐν Ἀμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον εἶχε
ξυνόν. ἀεὶ δέ σφιν λώιον εἰς ἔτος ἦν
ἐκ σέθεν ἀρχομένοις, ὦ πότνια· κηδόμενοι γάρ
ἀθανάτων αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

ΙΔ'.

Ἀστοῖς καὶ ξείνοισιν ἴσον νέμει ἥδε τράπεζα·
θεὶς ἀνελοῦ ψήφου πρὸς λόγον ἐρχομένης.
ἄλλός τις πρόφασιν λεγέτω· τὰ δ' ὀθνεῖα Κάικος
χρήματα καὶ νυκτὸς βουλομένοις ἀριθμεῖ.

ΙΕ'.

Γνώσομαι, εἴ τι νέμεις ἀγαθοῖς πλέον, ἢ καὶ ὁ δειλός
ἐκ σέθεν ὡςαύτως ἶσον, ὁδοιπόρ', ἔχει.
χαιρέτω οὗτος ὁ τύμβος, ἐρεῖς, ἐπεὶ Εὐρυμέδοντος
κεῖται τῆς ἱερῆς κοῦφος ὑπὲρ κεφαλῆς.

Ιϛ'.

Ἡ παῖς ᾤχετ' ἄωρος ἐν ἑβδόμῳ ἥδ' ἐνιαυτῷ
εἰς Ἀίδην πολλοῖς ἡλικίης προτέρη,
δειλαίη, ποθέουσα τὸν εἰκοσάμηνον ἀδελφόν,
νήπιον ἀστόργου γευσάμενον θανάτου.

2. *καί σε* Iunt. *ναὶ σὲ* k. *πὰρ σὲ* Ahrens.
3. *πᾶσι*] k. c. Iunt. *παισὶ* Call. — *νίκην*] Iunt. Call. *νίκαν* k. c.

XIII. *Εἰς ἄγαλμα τῆς οὐρανίας ἀφροδίτης* Iunt.
1. *ἱλάσκετο* k. c.
2. *οὐρανίην*] k. c. Call. *οὐρανίαν* Iunt. — *ἁγνῆς*] Ahrens. *ἁγνᾶς* vulg. — *ἄνθεα* k. — *Χρυσογόνης*] —*ας* vulg.
3. *εἶχεν* c. *ἔσχε* Iunt.
5. 6. *κηδόμενοι ἀ* | *π' ἀθανάτων*— Call.

XIV. Deest in Iunt. Call.
1. *αὐτοῖς* c. — *ἶσον* k. — *ἥδε*] k. c.
2. *ἀνελοῦ*] k. c. — *ἐρχομένης*] k. *ἑλκομένης* c. et e corr. k.
3. *ἄλλος τίς* k.
4. *βουλομένης* c.

XV. *Εἰς τὸ αὐτό* Iunt., ubi praecedit *ἐπιτάφιον εὐρυμέδοντος*.
1. *νέμοις* k.
2. *ἔχεις* k.
3. *χαῖρετο* c. — *ἐπὶ* c. — *εὐρυμ*— k.

XVI. Deest in Iunt. Call.

1. *ἐν ἑΔμόμ* ω k. *ἐκ ἑβδομῇ δ' ἐνιαυτῷ* c.
2. *πολλοῖς*] Ahrens. *πολλῆς* c. *πολλῆσιν* k. — *ἡλικίης* k.
3. *ποθέουσα*] c. *ποθέοισα* k.
4. *ἀπὸ στόργου* c.

αἰαῖ ἐλεινὰ παθοῦσα Περιστέρη, ὡς ἐν ἑτοίμῳ
ἀνθρώποις δαίμων θῆκε τὰ λυγρότατα.

ΙΖʹ (Ιϛʹ).

Θᾶσαι τὸν ἀνδριάντα τοῦτον, ὦ ξένε,
σπουδᾷ καὶ λέγ' ἐπὴν ἐς οἶκον ἔνθῃς·
Ἀνακρέοντος εἰκόν' εἶδον ἐν Τέῳ
τῶν πρόσθ' εἴ τι περισσὸν ᾠδοποιοῦ.
προςθεὶς δὲ χὤτι τοῖς νέοισιν ἅδετο,
ἐρεῖς ἀτρεκέως ὅλον τὸν ἄνδρα.

ΙΗʹ (ΙΖʹ).

Ἅ τε φωνὰ Δώριος χὡνὴρ ὁ τὰν κωμῳδίαν
εὑρὼν Ἐπίχαρμος.
ὦ Βάκχε, χάλκεόν νιν ἀντ' ἀλαθινοῦ
τὶν ὧδ' ἀνέθηκαν
τοὶ Συρακόσσαις ἐνίδρυνται πεδωρισταὶ πόλει,
οἷ' ἀνδρὶ πολίτᾳ
(σωρὸν γὰρ εἶχε ῥημάτων) μεμναμένους
τελεῖν ἐπίχειρα.
πολλὰ γὰρ πὸτ τὰν ζόαν τοῖς πᾶσιν εἶπε χρήσιμα.
μεγάλα χάρις αὐτῷ.

ΙΘʹ (ΚΑʹ).

Ὁ μουσοποιὸς ἐνθάδ' Ἱππῶναξ κεῖται.

5. *αἰαῖ*] *αἲ αἲ* k. *αἲ αἲ* c. — *ἐλεινὰ παθοῦσα*] Ahrens. *ἐλεεινὰ παθοῖσα* k. *ἐλέεινα ποθοῦσα* c. — *Περιστέρη*] c. *περιστερὴ* k. — *ὣς* k.

XVII. *Εἰς ἀνακρέοντος ἄγαλμα* Iunt. *εἰς ἀνακρέοντα* Call.
2. *σπουδαῖε* k. c. — *ἐπὴν*] Meinek. *ἐπὰν* vulg. — *εἰς* k.
4. *περισσῶν* k. — *ᾠδοποιοῦ*] Meinek. *ᾠδοποιῶν* vulg.
5. *δ' εχωτι* c. — *νέοισιν*] c. Iunt. Call. *νέοις* k. — *ἅδετο* k. *ἀδετο* c.

XVIII. *Εἰς ἐπίχαρμον* Iunt. Call.
1. *δώρειος* Iunt. Call. et ante Comm.
4. *τίν ὧδ'* k.
5. *τοὶ*] k. *τοι* c. *τὸν* Iunt. Call. — *συρακούσαις* k. c. — *πεδωρισταὶ*] Meinek. *πελωρῒς τ*^ῆ (*τ*^{ῆι} ?) k. *πέλωρις τῆ* c. *πελωριστᾶ* Iunt. Call. *πελωριστᾷ* Mor.
6. *οἷ* Iunt. *οἷα* Call. — *πολῖται* k. c. Iunt.
7. *ῥημάτων*] Iacobs. *χρημάτων* Call. vulg. *χρημένων* Iunt. — *μεμναμένους*] k. c. *μεμναμένοις* Iunt. Call. *μεμναμένοι* Scaliger.
8. *ἐπὶ χεῖρα* k. c. — Cfr. de toto hoc loco Meinek.
9. *πὸτ τὰν*] Kiessling. *ποττὰν* vulg. *ποτὰν* c. — *ζόαν*] Schaefer. *ζοὰν* k. c. Iunt. Call. *ζωὰν* Mor. — *τοῖς* om. c. — *πᾶσιν*] Iacobs. *παισὶν* vulg. *παῖσὶν* c. — *χρήσιμα* habent k. c. initio v. sequentis.
10. *μεγάλη* k. c. — *αὑτῷ* Iunt. *αὐτῶ̆* c. Call. *αὐτῶν* Ahrens.

XIX. Deest in Call. — *Ἐπιτάφιον ἱππώνακτος* Iunt.
1. *Ἱππῶναξ*] Meinek. *Ἱππώναξ* vulg.

εἰ μὲν πονηρός, μὴ ποτέρχευ τῷ τύμβῳ·
εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,
θαρσέων καθίζευ, κῆν θέλῃς ἀπόβριξον.

Κ' (ΙΗ').

Ὁ μικκὸς τόδ' ἔτευξε τᾷ Θραΐσσᾳ
Μήδειος τὸ μνᾶμ' ἐπὶ τᾷ ὁδῷ κἠπέγραψε Κλείτας.
ἑξεῖ τὰν χάριν ἁ γυνὰ ἀντὶ τήνων,
ὧν τὸν κοῦρον ἔθρεψε. τί μάν; ἔτι χρησίμα καλεῖται.

ΚΑ' (ΙΘ').

Ἀρχίλοχον καὶ στᾶθι καὶ εἴςιδε τὸν πάλαι ποιητάν
τὸν τῶν ἰάμβων, οὗ τὸ μυρίον κλέος
διῆλθε κἠπὶ νύκτα καὶ πρὸς ἀῶ.
ἦ ῥά νιν αἱ Μοῖσαι καὶ ὁ Δάλιος ἠγάπευν Ἀπόλλων,
ὡς ἐμμελής τ' ἔγεντο κἠπιδέξιος
ἔπεά τε ποιεῖν πρὸς λύραν τ' ἀείδειν.

ΚΒ' (Κ').

Τὸν τοῦ Ζανὸς ὅδ' ὗμιν υἱὸν ὡνήρ
τὸν λεοντομάχαν, τὸν ὀξύχειρα,
πρᾶτος τῶν ἐπάνωθε μουσοποιῶν
Πείσανδρος συνέγραψεν ὡκ Καμίρου

2. *κεἰ* Ahrens. — *μὴ ποτέρχευ*] Mor. *μήποτ' ἔχου* c. *μὴ προσέρχου* k. Iunt.
3. *χρηστῶ* c. *χρηστῷ* Mor.
4. *καθίζευ*] c. Iunt. *καθίζου* k. — *κῆν*] c. Iunt. *ἦν* k. *κἂν* Mor.

XX. *Ἐπιτάφιον κλείτας τροφοῦ μειδίου* Iunt. *Ἐπιτάφιος κλείτας τροφοῦ μηδείου* Call.
1. *τῶ* pro *τᾷ* k. c. — *Θραΐσσᾳ*] Ahrens. *Θραΐσσα* k. c. *Θρεΐσσα* Iunt. Call.
2. *μνήδειος* k. *μνηδίος* c. — *κἠπέγραψε*] Call. *κἀπέγραψε* Iunt. *κἠνέγραψε* k. *κῆνεγραψε* c. — *κλίτας* c. *Κλείτα* Mor.
3. *τὰν*] Brunck. *τὴν* vulg. — *ἁ γυνὰ*] Brunck. *ἡ γυνὴ* vulg. *ἡ γύναὖτὶ* k. *ἡ γύν' ἀντὶ* c.
4. *κῶρον* Brunck. — *ἔθρεψε. τί μάν; ἔτι*] Schaefer. *ἔθρεψε. τί μήν; ἔτι* — Toup. *ἔθρεψε. τί μάν; ὅτι* — Meinek. auctore Hermanno. *ἔθρεψ'· ἔτι μάν, ὅτι* — Ahrens. *ἔθρεψ' ἔτι μὴν ἔτι* k. c. Iunt. Call. — *χρησίμα*] Brunck. *χρησίμη* vulg. *χρησείμη* Iunt.

XXI. *Εἰς ἀρχίλοχον* Iunt. Call.
1. *ποιητήν* Iunt.
3. *κ'ηπι* (with *α* above) c. — *ποτ' ἀῶ* Schaefer.
4. *ἦρά* Iunt. — *νιν*] Iacobs. *μιν* vulg. — *Μοῖσαι*] k. c. *Μοῦσαι* vulg. — *ὁ λάιος* k. *ὁ λαΐος* c. Sic k. VII, 2. *εὐρύμελον*. VIII, 4. *ἀπενώλους*. — *ἠγαπευεν* c.
5. *τ'* om. Iunt. — *ἐγένετο* k. c. — *κἠπιδέξιος*] Winterton. *κἀπι—* vulg.

XXII. *Εἰς ἀνδριάντα πεισάνδρου τοῦ τὴν ἡράκλειαν ποιήσαντος* Iunt. Call.
1. *τῶ* Schaefer. — *ζᾶνος* c. — *ὅδ'* c. Iunt. — *ὗμιν*] Ahrens. *ὑμῖν* c. Iunt. Call. *ἡμῖν* k. — *ὡνήρ*] Schaefer. *ὦνὴρ* c. *ἀνήρ* k. vulg.
2. *λεοντομάχαν*] k. c. *λειοντ—* vulg. — *ὀξύχερα* k. c.
3. *πρᾶτος*] k. c. *πρῶτος* Iunt. Call. — *ἐπάνωθι* Iunt. *ἔτ' ἄνωθε* Ahrens.
4. *συνέγραψεν*] k. c. *ξυνέγραψεν* Iunt. Call. — *ὡκ Καμίρου*] *ὡ'κκαμίρου* k. *ὠ καμμίρου* c. *οὐ'κ*

χῶσους ἐξεπόνασεν εἶπ' ἀέθλους.
τοῦτον δ' αὐτὸν ὁ δᾶμος, ὡς σάφ' εἰδῇς,
ἔστασ' ἐνθάδε χάλκεον ποιήσας
πολλοῖς μησὶν ὄπισθε κἠνιαυτοῖς.

ΕΚ ΤΗΣ ΒΕΡΕΝΙΚΗΣ.

Καἴ τις ἀνὴρ αἰτεῖται ἐπαγροσύνην τε καὶ ὄλβον,
ἐξ ἁλὸς ᾧ ζωή, τὰ δὲ δίκτυα κείνῳ ἄροτρα,
σφάζων ἀκρόνυχος ταύτῃ θεῷ ἱερὸν ἰχθῦν,
ὃν λεῦκον καλέουσιν, ὁ γὰρ φιερώτατος ἄλλων,
καί κε λίνα στήσαιτο καὶ ἐξερύσαιτο θαλάσσης
ἔμπλεα.

Καμίρου Ahrens. *ὠκκαμείρου* Iunt. Call. *ὠκ Καμείρου* Mor.
5. *ἐπόνασεν* c.
6. *σάφα* k. c.
8. *πολλο* c. — *μησὶν*] Ahrens. *μῖσιν* k. *μασὶν* vulg. *μ^η^ασὶν* c.

Fragmentum hoc servavit Athenaeus VII, 284. — „Alia Theocriteorum carminum fragmenta, quae quidem certa sint et indubia, reperiuntur nulla." (Meinek.)
1. *καἴ*] Toup. *καὶ* libri.
2. *ζωή*] Toup. *ζώει* antea.
3. *ἀκρόνυχος*] Scaliger. *ἀκρονύχους* libri.
4. *φιερώτατος*] Schweigh. *φιαρώτατος* Toup. *θ' ἱερώτατος* vulg.

ADDENDA.

I.

Hypotheses, quales leguntur in Medic. 37.*)

I.

Αὕτη ἡ ὑπόθεσις εἰς Δάφνιν γέγραπται, ὃς διὰ τούτου μὲν τοῦ εἰδυλλίου τέθνηκε, διὰ δὲ τοῦ ἑξῆς ὡς ζῶντος αὐτοῦ μνημονεύει. ὅμως τοῦτο προτέτακται διὰ τὸ χαριέστερον καὶ τεχνικώτερον τῶν ἄλλων μᾶλλον συντετάχθαι· καὶ Πίνδαρος γάρ, ἀρχομένου ἔργου, φησί, πρόσωπον χρὴ θέμεναι τηλαυγές. ἔστι δὲ ἀμοιβαῖον καὶ δραματικώτερον μὴ ὑποδεικνυμένου τοῦ προσώπου τοῦ ποιητοῦ.

Τὰ μὲν πράγματα διάκεινται ἐν Σικελίᾳ· ποιμὴν δέ τις εἰσάγεται πρὸς αἰπόλον διαλεγόμενος, οὗ τὸ ὄνομα οὐκ ἔστι γνωστόν. — Ἄλλως. Ἐν τούτῳ τῷ εἰδυλλίῳ διαλέγονται πρὸς ἀλλήλους Θύρσις ποιμὴν καὶ αἰπόλος, ἤτοι Μενάλκας ἢ Κομάτας· ἀγνοεῖται γὰρ τὸ τοῦ [αἰπόλου] ὄνομα. Δωρίδι δὲ διαλέκτῳ κέχρηται ὁ Θεόκριτος ἀνειμένῃ.

III.

Ἐπιγράφεται μὲν τὸ εἰδύλλιον Ἀμαρυ$^{\lambda\lambda'}$ Αἰπολ$^{o\iota'}$ ἢ Κωμαστής. ἐπικωμάζει δέ τις Ἀμαρυλλίδι, τοῦ ὀνόματος μὴ δηλουμένου. εἰκάσειε δ' ἄν τις τὸν ἐπικωμάζοντα Βάττον εἶναι· τοῦτον γὰρ αἰπόλον ὄντα δι' ἑτέρου ποιεῖ προσδιαλεγόμενον Κορύδωνι καὶ τὸν ἔρωτα, ὃν εἶχε πρὸς τὴν Ἀμαρυλλίδα, ἐμφαίνοντα. τὰ δὲ πράγματα εἴη ἂν περὶ Κρότωνα τῆς Σικελίας, ὅθεν καὶ τὴν Ἀμαρυλλίδα ὑποτίθησι φέρων αὐτῇ δῶρα καὶ δυσθυμῶν, ὅτι οὐχ ὑπακούει. τὸ εἶδος κωμαστικόν. τὸν δὲ Τίτυρον οἱ μὲν κύριον, οἱ δὲ Σάτυρον εἶναι φασί. τινὲς δὲ διὰ τοῦ σιμοῦ τὸν Θεόκριτον οἴονται κωμάζειν Σιμίχιδ~ καλοῦντες. ἡ ἱστορία περὶ Ἀπολλωνίῳ.

IV.

Τοῦτο τὸ εἰδύλλιον βουκολικόν ἐστι, Βάττου μὲν αἰπο$^{\lambda}$, Κορύδωνος δὲ βουκ$^{o\lambda}$, οἳ πρὸς ἀλλήλους διαλέγονται. ὑποτίθεται δὲ τὸν Κορύδωνα βοῦς νέμοντα βουκόλου τινὸς Αἴγωνος, ὅν φησιν εἰς Ὀλυμπίαν ὑπὸ

---

*) II. XVII. desunt.

Μίλωνος ἀχθῆναι ἰσχυρὸν ὄντα, ὡς ἀγωνίσηται, τὸν δὲ Βάττον ταῦτα πυνθανόμενον καὶ λέγοντα, ὅτι κακοῦ αἱ βόες ἔτυχον βουκόλου καὶ εἰσὶ λεπταί. τὰ δὲ πράγματα διάκειται ἐν Κρότωνι τῆς Σικελίας. ἀρχαιότερος ὁ Μίλων Θεοκρίτου.

V.

Ἐπιγράφεται μὲν τὸ εἰδύλλιον αἰπολικὸν [καὶ] ποιμενικόν. προσδιαλέγονται δὲ ἀλλήλοις ἐπὶ Ἰταλίας ποιμὴν καὶ αἰπόλος. δραματικώτερον δέ ἐστι καὶ τοῦτο τὸ εἰδύλλιον, τοῦ προσώπου τοῦ ποιητοῦ μὴ ἐμφαινομένου. ἔστι δὲ τοῦ αἰπόλου τὸ ὄνομα Κομάτας, ὃς καὶ Εὐμάρα τοῦ Συβαρίτου νέμει αἶγας· τοῦ δὲ ποιμένος Λάκων, ὃς Θουρίου Σιβύρτα νέμει θρέμματα. ἔχει δὲ ὁ μὲν Κομάτας κόρην ἀγαπωμένην Ἀλκίππην τοὔνομα, ὁ δὲ Λάκων ἐρώμενον Εὐμήδην. ἀλλήλους δὲ προκαλοῦνται περὶ εὐμουσίας ἐρίζοντες, καὶ ἔπαθλον τῆς νίκης τίθενται, ὁ μὲν αἰπόλος τράγον, ὁ δὲ ποιμὴν ἀμνόν, Μόρσωνα δὲ κριτὴν τῶν ᾠδῶν αἱροῦνται. τελεσάντων δὲ τὴν ἅμιλλαν, ὁ κριτὴς Μόρσων τῷ αἰπόλῳ τὴν νίκην ἀπονέμει. ὁ δὲ ἐπὶ τῇ νίκῃ γαῦρος γενόμενος προσδιαλέγεται ταῖς αἰξί, καὶ τὴν τοῦ τράγου πρὸ τῶν αἰγῶν ὄρεξιν πειρᾶται καταστέλλειν, ἐπινίκιον θυσίαν ταῖς Νύμφαις εὐτρεπίζων.

VI.

Δαμοίτας καὶ Δάφνις θέρους ὄντος μεσημβρίας εἰς ἓν τὰ θρέμματα συνελαύνουσι καὶ ἀμοιβαίως τὴν περὶ Κύκλωπα ὑπόθεσιν ᾄδουσι. καὶ ἄρχεται μὲν τῆς ᾠδῆς ὁ Δάφνις ὡς πρὸς τὸν Κύκλωπα τὴν ἀπόδοσιν ποιούμενος· ὁ δὲ Δαμοίτας ἀποκρίνεται ἐκ τοῦ προσώπου τοῦ Πολυφήμου δῆθεν. τὰ πράγματα ἐν Σικελίᾳ. τοῦ δὲ Ἀράτου, ᾧ προσφωνεῖ, ἐν τοῖς Θαλυσίοις καὶ ἀλλαχόθι μνημονεύει. δύναται δὲ καὶ οὗτος εἶναι ὁ τῶν Φαινομένων ποιητής. πόκ' Ἄρατε. εἰκὸς τὸν ἀστρόνομον Ἄρατον εἶναι — καὶ γὰρ ἰσοχρονίκει ὁ Θεόκριτος αὐτῷ — οὗ μέμνηται ἐν Θαλυσίοις· Ἄρατος δ' ὁ τὰ πάντα φιλαίτατος ἀνέρι τήνῳ.

VII.

Ἐπιγράφεται μὲν τὸ εἰδύλλιον Θαλύσια· τὰ δὲ πράγματα ἐν Κῷ. ἐπιδημήσας γὰρ τῇ νήσῳ ὁ Θεόκριτος, ὅτε πρὸς Πτολεμαῖον εἰς Ἀλεξάνδρειαν ἀπῄει, φίλος κατέστη Φρασιδάμῳ καὶ Ἀντιγένει Λυκωπέως υἱοῖς. καὶ κληθεὶς ὑπ' αὐτῶν εἰς ἀγρῶν ἐπὶ Θαλύσια Δήμητρος ἄπεισι μετὰ Εὐκρίτου καὶ Ἀμύντου. ὅθεν καὶ διηγεῖται, ὡς καθ' ὁδὸν ἐντυγχάνει Λυκίδᾳ τῷ Κυδωνιάτῃ ἐκ Κρήτης, καὶ ὅπως ἀλλήλοις ὁμιλοῦσι καὶ διεξέρχονται τοὺς ἑαυτῶν ἔρωτας. ἤρα δὲ ὁ Λυκίδης παιδὸς Ἀγεάνακτος Μιτυληναίου, ὁ δὲ Θεόκριτος Μυρτοῦς ὄνομα. λαμβάνει δὲ ὁ Θεόκριτος λαγωβόλον περὶ Λυκιδι', καὶ οὕτω χωρίζονται ἀλλήλων. προλογίζει ὁ Θεόκριτος.

VIII.

Τὰ μὲν πράγματα ἐπὶ Σικελίας· ὁ δὲ λόγος ἐκ τοῦ ποιητικοῦ προσώπου. εἰσὶ δὲ ἐρίζοντες ἀλλήλοις Δάφνις (καὶ) βουκόλος καὶ Μενάλκας ποιμὴν εἰληφότες κριτὴν αἰπόλον· ἔπαθλον δὲ τεθείκασι τὰς σύριγγας.

IX.

Τὰ μὲν πράγματα ἐπὶ Σικελίας. νομεὺς δέ ἐστιν, ὃς δεῖται Δάφνιδος καὶ Μενάλκ^{α}, ὅπως ἀλλήλοις ἀντᾴσωσιν. οὐδὲν δὲ ἔχ^{οι} πρὸς τὸν Μενάλκαν . . . .

X.

(Rubrica:) Ἄδηλον εἰ ἐν χωρίῳ διάκειται τὸ ᾆσμα. Μίλων δέ ἐστι καὶ Βάττος, ἐν τῷ θερίζειν ἀλλήλοις διαλεγόμενοι. ἐρᾷ δὲ ὁ Βάττος Βομβύκας αὐλητρίδος, Πολυβότου τινὸς εἴτε (atramento:) θυγατρὸς εἴτε θεραπαίνης, καὶ ἐπὶ τούτῳ ὁ Μίλων ἐρεθίζων αὐτὸν ὡς βραδέως θερίζοντα σκώπτει. τοῦ δὲ Βάττου εἰπόντος ὅτι Βομβύκας ἐρῶ, προσπαίζων αὐτῷ ὁ Μίλων τὴν φίλην αὐτοῦ μάντιν καλαμαίαν φησίν, ἐπεὶ καὶ μέλαινα καὶ λεπτὴ καὶ ἀνάκωλος· τοιαῦται δὲ καὶ^{αἱ} ἐν ταῖς χώραις ἀκρίδες. Βάττος δέ, μὴ μεγαλορρημονῇς ἐπὶ τούτῳ, ἔφη αὐτῷ· τυφλὸς γὰρ οὐ μόνον ὁ Πλοῦτος, ἀλλὰ καὶ ὁ Ἔρως. ἐρεθισθεὶς δὲ ὑπὸ Μίλωνος ὁ Βάττος ἀπήγγειλεν ᾠδὴν εἰς τὴν ἐρωμένην αὐτοῦ, περιέχουσαν καὶ τὰ περὶ τὸν Λυτιέρσην τοῦ Μίδου υἱόν, ὃν Ἡρακλῆς ἀνεῖλε πολλοὺς ἀναιροῦντα ἐν τῷ θερίζειν. παυσάμενος δὲ τῆς ᾠδῆς ἀναλέγεται (ἀναλέχεται?) ὁ Μίλων, ὡς πρέπουσαν ἐργάτῃ, παραινεῖ τὲ λοιπὸν τὸν κατ’ αὐτὸν ἔρωτα διηγεῖσθαι τῇ μρῖ κατὰ τὸν ὄρθρον.

XI.

Ὑπόκειται ὁ Κύκλωψ παρηγορῶν ἑαυτοῦ τὸν ἐπὶ τῇ Γαλατ᾽ ἔρωτα δι’ ᾠδῆς. προσδιαλέγεται δὲ ὁ Θεόκριτος ἰατρῷ Νικίᾳ, Μιλησίῳ τὸ γένος, ὃς συμφοιτητὴς γέγονεν Ἐρασιστράτου, ἰατροῦ ὄντος καὶ αὐτοῦ. μέμνηται δὲ τοῦ Νικίου καὶ ἀλλαχοῦ ὁ Θεόκριτος. ἀπὸ Θεοκρίτου πρὸς Κύκλωπα, οὗ ἡ ἀρχὴ ἦν γὰρ ἄρα ἀληθὲς τοῦτο, Θεόκριτε· οἱ γὰρ Ἔρωτες ποιητὰς πολλοὺς ἐδίδαξαν τοὺς πρὶν ἀμούσους. γέγραφε δὲ καὶ ἐπιγραμμάτιον Ἐρασιστράτου ἰατροῦ Μιλησίου, ὥς φησι Διονύσιος ὁ Ἐφέσιος ἐν τῇ ἰατρῶν ἀνατροφῇ.

XII.

Ἐπιγέγραπται μὲν τὸ εἰδύλλιον Ἀΐτας· γέγραπται δὲ Ἰάδι διαλέκτῳ. ὁ λόγος ἐκ τοῦ ποιητικοῦ προσώπου πρὸς ἐρώμενον. ἐπιγέγραπται δὲ οὕτως, ἐπεὶ καὶ τοὺς ἐρωμένους ἀΐτας ἔνιοι καλοῦσιν ὡς Θεσσαλοί. καὶ Ἀλκμὰν’‥ τοὺς κόρους ἀΐτας λέγει. οἱ δὲ ἀείτας τοὺς ἑτέρους μεταθέσει τοῦ ἀντιστίχου, ἢ ἀΐτας οἱονεὶ μὴ ἱταμούς. ἢ ἀΐτης ὁ σύμπνους καὶ συναΐτης καὶ συμπορευτής. ἀπὸ τοῦ εἰσάειν καὶ πνεῖν τὸν ἔρωτα τῷ ἀγαπῶντι. ἐντίθεται δέ πως ὁ ἐρῶν καὶ οὐ φείδεται θεασάμενος τοὺς τοῦ ἐρωμένου χαρακτῆρας, εὔχεται δὲ τῶν δύο ψυχῶν ἁρμογὴν αὐτοῖς γενέσθαι καὶ φιλίας ἀσφάλειαν μέχρι γένους πα . . μένουσαν, ἵνα καὶ μετὰ θάνατον οἱ μετ’ αὐτοὺς φημίσωσιν αὐτῶν τὴν ὁμόνοιαν λέγοντες ἐκ τοῦ χρυσοῦ γένους αὐτοὺς γεγενῆσθαι, οἵτινες ἀμοιβὴν φιλίας ἔπνευσαν πρὸς ἀλλήλους. ἐπαινεῖ δὲ καὶ τοὺς Μεγαρεῖς ἐπὶ τῷ τετιμηκέναι Διοκλέα ὑπερασπίσαντα ἰδίου ἐρωμένου καὶ ὑπὲρ ἐκείνου τελευτῆς ἐμπεσόντα εἰς πόλεμον, ὅθεν τοὺς Μεγαρεῖς θάψαι αὐτὸν ἢ

τιμᾶν ὡς ἥρωα ἀγῶνά τε ἐπ᾽ αὐτῷ ποιεῖν, ἐν ᾧ τοὺς καλοὺς περὶ φιλήματος ἀγωνίζεσθαι, τὸν δὲ καταφιλήσαντά τινα ἥδιστον, τοῦτον ὑπὸ τοῦ κριτοῦ στεφανοῦσθαι.

XIII.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Ὕλλας. Πάλιν δὲ τῷ Νικίᾳ προσδιαλέγεται ὡς καὶ ἐν τῷ Κύκλωπι. ἐκτίθεται δὲ τὰ περὶ τὸν Ὕλλαν καὶ Ἡρακλέα· τοῦ μὲν Ὕλλα τὴν ὑπὸ τῶν Νυμφῶν ἁρπαγήν, τοῦ δὲ Ἡρακλέ^ο τὴν πλάνην καὶ τὴν ὑπὲρ τοῦ Ὕλλα βάσανον. εἴρηται δὲ δωρίδι διαλέκτῳ.

XIV.

(Rubrica:) Τὰ πράγματα ἐν Σικελίᾳ. ἐν τούτῳ τῷ εἰδυλλίῳ ἐστὶν ἡ διήγησις καταστάσεως ἐρωτικῆς κοινῆς τοῦ τε Κυνίσκας ἔρωτος. ἡ γὰρ γυνὴ (atramento:) τοῦ Αἰσχίνου προσέκειτο Λύκῳ τινί, καταφρονοῦσα τοῦ Αἰσχίνου. Θυωνίχου δέ τινος ἑτέρου προσιόντος αὐτῷ διὰ χρόνου δικαίως εἰσάγεται προκε̃. τὰ δὲ πράγματα ἐν Σικελίᾳ.

XV.

Ἐπιγράφεται μὲν τὸ εἰδύλλιον Συρρακούσιαι ἢ Ἀδωνιάζουσαι· ὑποτίθεται δέ τινας γυναῖκας Συρρακοσίους τὸ γένος ἐπιδημούσας ἐν Ἀλεξανδρείᾳ καὶ κατὰ σύνταξιν ἐπὶ θέαν ἐξιούσας τῆς πομπῆς τοῦ κοσμηθέντος Ἀδώνιδος ὑπὸ Ἀρσινόου τῆς Φιλαδέλφου γυναικός. ἔρχεται δὲ Γοργὼ πρὸς Πραξινόην καὶ παραλαβοῦσα αὐτὴν ἐξέρχεται ἐπὶ τὴν θέαν. παρέπλασε δὲ τὸ ποιημάτιον ἐκ τῶν παρὰ Σώφρονι Ἴσθμια θεμε^ων καὶ κεχωρισμένον ἐπὶ τοῦ ποιητικοῦ προσώπου. ἔθος δὲ ἔχουσιν οἱ κατ᾽ Ἀλεξάνδρειαν κοσμήσαντες εἴδωλον τοῦ Ἀδώνιδος ἐν τοῖς Ἀδωνίοις μετὰ τῶν νομιζομένων ἐπὶ τὴν θάλατταν κομίζειν. αἱ δὲ Συρρακούσιαι ἐξελθοῦσαι τῶν οἴκων θαυμάζουσι τὸν ὄχλον ὅσα τε γὰρ ἐν ὄχλῳ διαγράφει ὁ Θεόκριτος ἐπιδημήσας ἐν Ἀλεξανδρείᾳ χαριζόμενος τῇ βασιλίδι τόν τε σκϊλμὸν καὶ βιασμὸν τῶν ἀνδρῶν καὶ ᾄδουσάν τινα καὶ τὴν πολυτέλειαν τῆς Ἀρσινόης δι᾽ ᾠδῆς ἀπαγγέλλουσαν.

XVI.

Τοῦτο τὸ εἰδύλλιον γέγραπται εἰς Ἱέρωνα τὸν Ἱεροκλέα, τὸν ἔσχατον Σικελίας τύραννον· κατέσχε δὲ τὴν ἀρχὴν στρατηγὸς ὑποδειχθεὶς ὑπὸ τῶν πολιτῶν καὶ φθείρας τὰς δυνάμεις, ὥστε τύραννον αὐτὸν ἀγορευθῆναι. μετὰ δὲ τοῦτον ἦρξεν Ἱέρων ὁ Γέλωνος. μηδὲν οὖν εἰληφὼς παρὰ τοῦ Ἱέρωνος ὁ Θεόκριτος διὰ τοῦτο τὸ εἰδύλλιον πεποίηκε καὶ Χάριτας αὐτῷ ἐπέγραψεν· ἐν ᾧ καὶ τὰ τοῦ Σιμωνίδου ἐμφαίνει κιβώτια. λέγουσι γὰρ αὐτὸν ἔχειν δύο κιβώτια, τὸ μὲν χαρίτων, τὸ δὲ διδόντων. ὅτε τις πρὸς αὐτὸν παρεγένετο χάριν αἰτούμενος, ἐκέλευε φέρειν τὰ κιβώτια. εὑρίσκετο οὖν τὸ μὲν τῶν χαρίτων κενόν, τὸ δὲ τῶν διδόντων πλῆρες. καὶ οὕτως ὁ τὴν δωρεὰν αἰτούμενος ἀνεκόπτετο.

II.

Eratosthenis Hypothesis, qualem exhibet Vat. 42.

Ἀΐτην τὸν ἑταῖρον φησίν. Ἀλκμὰν δὲ τὰς ἀΐτας χορδὰς ἀπεράστους φησίν. — Ἐπιγράφεται μὲν τὸ εἰδύλλιον Ἀΐτας· γέγραπται δὲ Ἰάδι διαλέκτῳ· ὁ δὲ λόγος ἐκ τοῦ ποιητικοῦ προσώπου πρὸς ἐρώμενον, ὅθεν καὶ ἐπίγραμμα Ἀΐτης, ἐπειδὴ τοὺς ἐρωμένους ἔνιοι ἀΐτας καλοῦσιν ὡς Θετταλοί. καὶ γὰρ Ἀλκμὰν τὰς ἐπεράστους κόρας λέγει ἀΐτας. οἱ δὲ ἀΐτας τοὺς ἑταίρους· φησὶ δὲ γενέσθαι τοὺς ἀγαθούς, οἷον μὴ ἴτας ἀντὶ τοῦ μὴ ἰταμούς. ἢ ἀίτης ὁ συναέτης (ν) καὶ συμπολίτης. εἰ δὲ ἐπὶ ἐρωμένου τάσσοιτο, λέγεται ἀπὸ τοῦ εἰσάειν καὶ εἰσπνεῖν τὸν ἔρωτα τῷ ἀγαπῶντι. ἐκτίθεται δέ πως ὁ ἐρῶν καὶ οὐ φείδεται θεασάμενος τοὺς τοῦ ἐρωμένου χαρακτῆρας· εὔχονται τῶν δύο ψυχῶν ἁρμογὴν αὐτοῖς γενέσθαι καὶ φιλίας ἀσφάλειαν μέχρι τέλους παραμένουσαν, ἵνα καὶ μετὰ θάνατον οἱ μεθ' ἡμᾶς φημίσωσι τὴν ἐν ἀμφοτέροις ὁμόνοιαν, λέγοντες ἡμᾶς ἐκ τοῦ χρυσοῦ γένους πεφυκέναι τούςδε ἢ οἵτινες ἀμοιβὴν φιλίας ἔπνευσαν πρὸς ἀλλήλους διὰ τὴν πρὸς ἀλλήλους φιλίαν. καὶ τοὺς Μεγαρεῖς ἐπαινεῖ ἐπὶ τῷ τετιμηκέναι Διοκλέα ὑπερασπίσαντα ἰδίου ἐρωμένου καὶ ὑπὲρ τῆς ἐκείνου τελευτῆς ἐμπεσόντα εἰς πόλεμον, ὅθεν οἱ Μεγαρεῖς θάψαι αὐτὸν δημοσίᾳ καὶ τιμᾶν ὡς ἥρωα, ἀγῶνά τε ποιεῖν ἐπ' αὐτῷ, ἐν ᾧ τοὺς καλοὺς περὶ φιλήματος ἀγωνίζεσθαι.

III.

Insignes scripturae diversitates, quas hic illic auctas e proecdosi repetendas curavi.

I, 20. *τῶ περὶ* — *τῶ ποτί.* 50. *κεύθοισα* — *τεύχοισα.* 62. *κοὔτοι κερτομέω* — *κοὔτοι τοι φθονέω.* 71. *ὠρύσαντο* — *ὠδύραντο.* 97. *κεῖπε* — *κῆφα.* 110. *πάντα* — *τἄλλα.* II, 65. *ἐκ τίνος ἄρξωμαι* — *ἐκ τήνω δ' ἄρξω.* 85. *ἐξεσάλαξε* — *ἐξαλάπαξε.* 88. *ὁμοῖος ἐγίνετο* — *ἶσος περ ἐγίνετο.* III, 17. *ἰάπτει* — *ἱκάνει.* V, 27. *δήλετ'* — *βούλετ'.* 33. *τουτεῖ* — *τηνεῖ.* 57. *τετράκις* — *πολλάκις.* 68. *ὦ φίλε* — *ὦγαθέ.* 77. *τύ γε μὰν* — *τὺ δ' ἄγαν.* 91. *παρ' αὐχένα* — *παρ' αὐτόθι.* 109. *ἆβαι* — *αὖαι, ἆζαι, αὐταί.* 115. *φορέονται* — *ποτέονται.* 140. *Νύμφαις* — *Μοίσαις.* 143. *ὅττι ποκ' ἤδη* — *ὡδέ ποκ' ἤδη.* 146. *λίμνας* — *κράνας.* VI, 11. *φαίνει* — *ῥαίνει.* 20. *καλὸν ἀείδειν* — *καὶ τάδ' ἄειδεν.* VII, 2. *σὺν καὶ τρίτος* — *σὺν δὲ τρίτος.* 43. *δωρύττομαι* — *δωρήσομαι.* 71. *μοι δύο* — *δοιὼ.* 85. *ἐξεπόνασας* — *ἐξετέλεσσας.* 94. *ᾧ τυ γεραίρεν* — *ὅττι γ' (κ') ἀείδειν.* 128. *τόσσ'* — *ὧς.* 147. *ἑπτάενες* — *τετράενες.* VIII, 27. *φάλαρος* — *φίλαρνος.* 39. *πιαίνετε* — *ποιμαίνετε.* 42. *πηδῶσιν* — *πλήθουσιν.* 46. *πληροῦσιν* — *πλαρεῦντι.* 91. *πρᾶτος . . Δάφνις* — *Δάφνις . . πρᾶτος.*

IX, 2. ᾠδᾶς ἄρχεο Δάφνι, συναψάσθω — ᾠδᾶς ἄρχεο πρᾶτος, ἐφαψάσθω. 10. ἁπάσας — ἀπ' ἄκρας. 33. οὓς μὲν (γὰρ) ὀρεῦντι (ὁρῶντι) γαθεῦσαι — ὡς μὲν ὁρῆτε, οὓς γὰρ ὁρῶσαι γαθεῦσιν (γαθεῦσι). XI, 11. ὀρθαῖς — ὀλοαῖς. 21. σφριγανωτέρα — φιαρωτέρα. 42. ἀφίκευσο — ἀφίκευ τὺ. 77. τὰν νύκτα κέλονται — κατὰ νύκτα θέλοντι. XII, 28. περίαλλα — περὶ ἄλλων. XIII, 48. ἐξεφόβησεν — ἀμφεκάλυψεν. 55. περὶ παιδὶ — ἐπὶ παιδὶ. 72. ἀμιθρεῖται — ἀριθμεῖται. XIV, 50. ἕρποι — ἥκοι. XV, 59. ὄχλος πολὺς — ὅσος ὄχλος. 76. φλίβεται — θλίβεται. XVI, 4. ἀείδωμες — ἀείδοντι. 54. δ' ἂν ὑφορβὸς — δ' ὁ συφορβός. XVII, 24. ἐξείλετο — ἐξήρατο. 137. αἰτεῦ — ἕξεις. XVIII, 12. σπεύδοντα — χρῄζοντα. 19. ἵκετο — ᾤχετο. 35. οὐ μὰν οὐδὲ λύραν — οὐ μὰν οὐ κιθάραν. — Longe plurima notavi ex Id. XXV., ubi quae in Parisino 2726. et Iunt. Call. leguntur in aliis libris frustra quaeras. Cfr. 1. φυτῶν ἐπίουρος ἀροτρεὺς — βοῶν ἐπιβουκόλος ἀνήρ. 15. μελιηδέα — πολυειδέα. 16. λειμῶνες θαλέθουσιν — λ. τε φέρουσιν. 29. ἐπίφρονος — εὔφρονος. 31. μέχρις ἐπ' ἐσχατιὰς — μέχρι πρὸς ἐ. 33. ἀγροῦ — ἀγροῖς. 38. ἀτρεκέως εἴποιμ' — πάντα μάλ' ἐξείποιμ'. 46. διὰ δὲ κρίνουσι — διά τε κρίνησι. 47. πρέσβυ — τῶνδε. 51. ἀροτρεὺς — ἀγρώτης. 64. μέμονεν δέ μιν αἰὲν ἔρεσθαι — μέμαεν δέ μιν ἐξερέεσθαι. 73 ὅσσον — ἆσσον. 74. πολλὰ — τρηχύ. 85. ἤγαγεν — ἔτραπεν. 93. προτέροισι — πρώτοισι. 104. φίλαις ὑπὸ ματράσιν — φίλας ὑπὸ μητέρας. 105. λαροῖο μεμάοτα — λιαροῖο πέπληντο δὲ. 110. βαρύφρονος — πολύφρονος. 114. θεῶν — βοῶν. (ὁμῶς Iunt.) 164. μέσος ἀκμῆς — νέος ἀκμήν. 182. εὔυδρον — εὐύδρου. 203. ἄγχιστα — ἀγχίμοροι. 216. οὐδενὸς ἴχνια τοῖα — οὐδ' ὅπη ἴχνια τοῖο. 222. παραυτίκα — μεταυτίκα. 225. χαροπὸν — χαλεπόν. 227. ἄφαρ — ἅμα. 228. τρίβῳ — ῥίῳ. 234. ὑπ' ὀδόντας ἔφηνε — ὑπέδειξεν ὀδόντας. 251. πήδησε σὺν ὁρμῇ — πήδησεν ὑφ' ὁρμῇ. 264. ἔφθασα — ἤλασα. (ἥλασα.) 271. πελώριος ἔλλαχεν — πελώριον ἔλλαβεν. 279. ἰωχμοῖο — ὄφρα μοι εἴη. 281. μήλοις τε καὶ . . . κήδεα — μήλοισι καὶ . . . πήματα. — In Epigrammatis discedunt Theocritei codd. saepius a codice Anthol.

IV.

Idyllium XXX

secundum recensionem L. Schwabii.

Ὤιαι τῶ χαλέπω καὶ νομόρω τῶδε νοσήματος·
τετορταῖος ἔχει παῖδος ἔρος μῆνά με δεύτερον,
κάλω μὲν μετρίως, ἀλλ' ὁπόσον τῷ παΐδὶ πρέπει.
καὶ νῦν μὲν τὸ κακὸν ταῖς μὲν ἔχει, ταῖς δ' ἔχει οὐκέτι
(ἄβας τοῦτο χάρις ταῖσδε παραύαις γλυκὺ μειδίαν)·
τάχα δ' οὐδ' ὅσον ὕπνω 'πιτύχην ἔσσετ' ἐρωΐα.

ἐχθὲς γὰρ παριὼν ἔδρακε λέπτ' ἄμμε δι' ὀφρύγων,
αἰδεσθεὶς ποτίδην ἀντίος, ἠρεύθετο δὲ χρόα.
ἔμεθεν δὲ πλέον τᾶς κραδίας ὦρος ἐδράξατο.
εἰς οἶκον δ' ἀπέβαν ἕλκος ἔχων καὶ τὸ . . . .
πολλὰ δ' ἐγκαλέσας θυμῷ ἐμαυτῷ διελεξάμαν·
τί δὴ ταῦτ' ἐπόης; ἀλλοσύνας τί 'σχατον ἔσσεται;
λεύκας οὐκέτ' ἴσησθ' ὄττι φόρεις ἐν κροτάφοις τρίχας;
ὦρά τοι φρονέειν μὴ οὔ τι νέος τὰν ἰδέαν πέλῃ.
πάντ' ἔρδ' ὅσσα περ οἱ τῶν ἐτέων ἄρτια γεύμενοι.
καὶ μὰν ἄλλος ἐλάσθη· τὸ δ' ἄρ' ἧς λώιον, ἔμμεναι
ξεῖνον τῶν χαλεπῶν παιδὸς ἔραν . . . .
τῷ μὲν γὰρ βίος ἕρπει προγόνοις ἶσ' ἐλάφω θοᾶς,
ἀλλάσσει δ' ἑτέρᾳ ποντοπόρην αὔριον ἀμέραν,
οὐδ' αὐτῷ γλυκερᾶς ἄνθεμον ἄβας πεδ' ὑμαλίκων
μέλει· τῷ δ' ὁ πόθος κὰτ τὸν ἔσω μυελὸν ἐσθίει
ὀμμιμνασκομένῳ· πολλὰ δ' ὄρη νυκτὸς ἐνύπνια.
παύσασθαι δ' ἐνιαυτὸς † χαλεπαὶ οὐκὶ . . . . . .
ταῦτα χἄτερα πολλὰ προτ' ἐμὸν θυμὸν ἐμεμψάμαν.
ὁ δὲ τοῦτ' ἔφατ'· ὄττις δοκίμοι τὸν δολομάχανον
νικάσειν ἔρον, οὗτος δοκίμοι τοὶς ὑπὲρ ἀμμέων
μετρεῖν βραϊδίως ἀστέρας ὀπποσσάκιν εὐνέα.
καὶ νῦν εἴτ' ἐθέλω, χρή με μακρὸν σχόντα τὸν ἄμφενα
ἕλκειν τὸν ζυγόν, εἴτ' οὐκ ἐθέλω· ταῦτα γάρ, ὤγαθέ,
βούλεται θέος, ὃς καὶ Διὸς ἔσφαλε μέγαν νόον
καὔτας Κυπρογενήας· ἔμε μάν, φύλλον ἐπάμερον,
σμίκρας δεύμενον αὔρας, † ὁ μέλλων αἴκα φορεῖ . . .